δισχίλια ἑξακόσια καὶ μόσχους τριακοσίους. [9]καὶ Χωνενιας καὶ Βα- 9
ναιας καὶ Σαμαιας καὶ Ναθαναηλ ἀδελφὸς αὐτοῦ καὶ Ασαβια καὶ
Ιιηλ καὶ Ιωζαβαδ ἄρχοντες τῶν Λευιτῶν ἀπήρξαντο τοῖς Λευίταις
εἰς τὸ φασεχ πρόβατα πεντακισχίλια καὶ μόσχους πεντακοσίους.
[10]καὶ κατωρθώθη ἡ λειτουργία, καὶ ἔστησαν οἱ ἱερεῖς ἐπὶ τὴν στά- 10
σιν αὐτῶν καὶ οἱ Λευῖται ἐπὶ τὰς διαιρέσεις αὐτῶν κατὰ τὴν ἐν-
τολὴν τοῦ βασιλέως. [11]καὶ ἔθυσαν τὸ φασεχ, καὶ προσέχεαν οἱ 11
ἱερεῖς τὸ αἷμα ἐκ χειρὸς αὐτῶν, καὶ οἱ Λευῖται ἐξέδειραν. [12]καὶ 12
ἡτοίμασαν τὴν ὁλοκαύτωσιν παραδοῦναι αὐτοῖς κατὰ τὴν διαίρεσιν
κατ᾽ οἴκους πατριῶν τοῖς υἱοῖς τοῦ λαοῦ τοῦ προσάγειν τῷ κυρίῳ,
ὡς γέγραπται ἐν βιβλίῳ Μωυσῆ, καὶ οὕτως εἰς τὸ πρωί. [13]καὶ 13
ὤπτησαν τὸ φασεχ ἐν πυρὶ κατὰ τὴν κρίσιν καὶ τὰ ἅγια ἥψησαν
ἐν τοῖς χαλκείοις καὶ ἐν τοῖς λέβησιν· καὶ εὐοδώθη, καὶ ἔδραμον
πρὸς πάντας τοὺς υἱοὺς τοῦ λαοῦ. [14]καὶ μετὰ τὸ ἑτοιμάσαι αὐτοῖς 14
καὶ τοῖς ἱερεῦσιν, ὅτι οἱ ἱερεῖς ἐν τῷ ἀναφέρειν τὰ στέατα καὶ
τὰ ὁλοκαυτώματα ἕως νυκτός, καὶ οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς
καὶ τοῖς ἀδελφοῖς αὐτῶν υἱοῖς Ααρων. [15]καὶ οἱ ψαλτῳδοὶ υἱοὶ Ασαφ 15
ἐπὶ τῆς στάσεως αὐτῶν κατὰ τὰς ἐντολὰς Δαυιδ καὶ Ασαφ καὶ
Αιμαν καὶ Ιδιθων οἱ προφῆται τοῦ βασιλέως καὶ οἱ ἄρχοντες καὶ
οἱ πυλωροὶ πύλης καὶ πύλης, οὐκ ἦν αὐτοῖς κινεῖσθαι ἀπὸ τῆς
λειτουργίας ἁγίων, ὅτι οἱ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται ἡτοίμασαν
αὐτοῖς. [16]καὶ κατωρθώθη καὶ ἡτοιμάσθη πᾶσα ἡ λειτουργία κυρίου 16
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοῦ ποιῆσαι τὸ φασεχ καὶ ἐνεγκεῖν τὰ ὁλοκαυ-
τώματα ἐπὶ τὸ θυσιαστήριον κυρίου κατὰ τὴν ἐντολὴν τοῦ βασι-
λέως Ιωσια. [17]καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ οἱ εὑρεθέντες τὸ φασεχ 17
ἐν τῷ καιρῷ ἐκείνῳ καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας.
[18]καὶ οὐκ ἐγένετο φασεχ ὅμοιον αὐτῷ ἐν Ισραηλ ἀπὸ ἡμερῶν Σα- 18
μουηλ τοῦ προφήτου, καὶ πάντες βασιλεῖς Ισραηλ οὐκ ἐποίησαν
ὡς τὸ φασεχ, ὃ ἐποίησεν Ιωσιας καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ
πᾶς Ιουδα καὶ Ισραηλ ὁ εὑρεθεὶς καὶ οἱ κατοικοῦντες ἐν Ιερουσα-
λημ τῷ κυρίῳ [19]τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ιωσια. 19
[19a]καὶ τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας καὶ τὰ θαραφιν 19a
καὶ τὰ εἴδωλα καὶ τὰ καρασιμ, ἃ ἦν ἐν γῇ Ιουδα καὶ ἐν Ιερου-
σαλημ, ἐνεπύρισεν ὁ βασιλεὺς Ιωσιας, ἵνα στήσῃ τοὺς λόγους
τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου, οὗ εὗρεν Χελκιας
ὁ ἱερεὺς ἐν τῷ οἴκῳ κυρίου. [19b]ὅμοιος αὐτῷ οὐκ ἐγενήθη ἔμ- 19b

9 αδελφος] pr. ο A† | ι(ε)ιηλ] ιωηλ B† | προβατα > B† || 11 εξεδειραν] εξ > B† || 12 βιβλιω] + νομω A†, + νομου V || 15 ιδιθων Ra.] -θωμ B†, -θουν A, -θουμ Vpl.: cf. I 16 38 | πυλης 1⁰] pr. της A† | οι paenult. > A† || 17 εν > B*† || 18 παντες βασιλεις] -τος -λεως BL† | οι 2⁰ > A† || 19a–d: cf. Regn. IV 23 24—27 || 19a θαραφ(ε)ιν B†] θεραφειμ A | καρασ(ε)ιμ B†] -ραισ- A | γη] pr. τη A | εν 2⁰ > A | ενεπυρ.] pr. και A | του ult. > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/921 UNIVERSITÄT LEIPZIG